οὕτως ὠνόμασαν, ὅτι πνεῦμα βαρὺ καὶ καρωτικὸν ἀφιεῖσα B
λυπεῖ τοὺς ὑπ᾽ αὐτῆς παρακεκλιμένους· καὶ τὸν νάρκισσον
ὡς ἀμβλύνοντα τὰ νεῦρα καὶ βαρύτητας ἐμποιοῦντα
ναρκώδεις· διὸ καὶ Σοφοκλῆς (O.C. 683) αὐτὸν ʽἀρχαῖον
μεγάλων θεῶν στεφάνωμα᾽, τουτέστι τῶν χθονίων, προσ-
ηγόρευκεν. φασὶ δὲ καὶ τὸ πήγανον ἀπὸ τῆς δυνάμεως
ὠνομάσθαι· πήγνυσι γὰρ ξηρότητι διὰ θερμότητα τὸ
σπέρμα καὶ ὅλως πολέμιόν ἐστι ταῖς κυούσαις. οἱ δὲ καὶ
τὴν ἀμέθυστον οἰόμενοι τῷ πρὸς τὰς οἰνώσεις βοηθεῖν
αὐτήν τε καὶ τὴν ἐπώνυμον αὐτῆς λίθον οὕτω κεκλῆσθαι
διαμαρτάνουσιν· κέκληται γὰρ ἀπὸ τῆς χρόας ἑκατέρα·
. . . ἐστιν αὐτῆς τὸ φύλλον † ἄκρατον ἀλλ᾽ ἀναίμῳ καὶ C
ὑδαρεῖ τὴν κρᾶσιν οἴνῳ προσέοικεν. ἄλλα μέντοι πάμπολλα
λαβεῖν ἔστιν, οἷς παρέσχον τὰς κλήσεις αἱ δυνάμεις· ἀρκεῖ
δὲ κἀκεῖνα τὴν τῶν παλαιῶν ἐπιμέλειαν ὑποδηλῶσαι καὶ
πολυπειρίαν, ἀφ᾽ ἧς ἐχρήσαντο τοῖς παροίνοις στεφάνοις.
μάλιστα μὲν γὰρ ὁ ἄκρατος, ὅταν τῆς κεφαλῆς καθάψηται
καὶ τονώσῃ † τὰ σώματα πρὸς τὰς τῶν αἰσθήσεων ἀρχάς,
ἐπιταράσσει τὸν ἄνθρωπον· αἱ δὲ τῶν ἀνθῶν ἀπόρροιαι
πρὸς τοῦτο θαυμασίως βοηθοῦσι καὶ ἀποτειχίζουσι τὴν
κεφαλὴν ἀπὸ τῆς μέθης ὡς ἀκρόπολιν, τῶν μὲν θερμῶν
μαλακῶς ἀναχαλώντων τοὺς πόρους καὶ ἀναπνοὴν τῷ D
οἴνῳ διδόντων, ὅσα δ᾽ ἡσυχῇ ψυχρὰ τῷ μετρίως ἐπιψαύειν

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id402389735/91 UNIVERSITÄT LEIPZIG